SIGLA

P = editio princeps (Xylandri ed. prior) ex codice hodie deperdito Tiguri a.d. MDLIX° impressa.

P cod. = eiusdem codicis verba in notis Xyl. servata.

A = cod. Vaticanus Gr. 1959, saec. xv.

D = cod. Darmstadtinus 2773 (cod. Creuzeri), saec. xiv vel xv, excerpta continens.

C = codd. excerpta e libris i–iv continentes.

Mo 1 = cod. Monacensis Gr. 323, saec. xvi, excerpta continens.

Mo 2 = cod. Monacensis Gr. 529, olim Augustanus, saec. xiv, excerpta classis X continens (cod. Hoeschelianus apud Cas.: B apud Schenkl).

X = codd. excerpta e libris iv. 49–xii. 34 continentes.

Consensus codicum nullo signo addito exhibetur.

Bas. = Xyl. editio altera, Basileae a.d. MDLXVIII° impressa.

Xyl. versio Latina uncinis rotundis inclusa citatur.

Testimonia ex Suida vel aliunde petita: loci auctorum parallel. ad calcem textus exhibentur.

Foliorum cod. A series (341 r–392 v) in textu nota |, inter testimonia verbo primo indicatur.

Index compendiorum p. lxxx datur.

ΒΙΒΛΙΟΝ Α

1 *Παρὰ τοῦ πάππου Οὐήρου τὸ καλόηθες καὶ ἀόργητον.*

2 *Παρὰ τῆς δόξης καὶ μνήμης τῆς περὶ τοῦ γεννήσαντος τὸ αἰδῆμον καὶ ἀρρενικόν.*

3 *Παρὰ τῆς μητρὸς τὸ θεοσεβὲς καὶ μεταδοτικὸν καὶ ἀφεκτικὸν οὐ μόνον τοῦ κακοποιεῖν, ἀλλὰ καὶ τοῦ ἐπὶ ἐννοίας γίνεσθαι τοιαύτης· ἔτι δὲ τὸ λιτὸν κατὰ τὴν δίαιταν καὶ πόρρω τῆς πλουσιακῆς διαγωγῆς.*

4 *Παρὰ τοῦ προπάππου τὸ μὴ εἰς δημοσίας διατριβὰς φοιτῆσαι καὶ τὸ ἀγαθοῖς διδασκάλοις κατ' οἶκον χρήσασθαι καὶ τὸ γνῶναι ὅτι εἰς τὰ τοιαῦτα δεῖ ἐκτενῶς ἀναλίσκειν.*

5 *Παρὰ τοῦ τροφέως τὸ μήτε Πρασιανὸς ἢ Βενετιανὸς μήτε Παλμουλάριος ἢ Σκουτάριος γενέσθαι· καὶ τὸ φερέπονον καὶ ὀλιγοδεές· καὶ τὸ αὐτουργικὸν καὶ ἀπολύπραγμον· καὶ τὸ δυσπρόσδεκτον διαβολῆς.*

6 *Παρὰ Διογνήτου τὸ ἀκενόσπουδον· καὶ τὸ ἀπιστητικὸν τοῖς ὑπὸ τῶν τερατευομένων καὶ γοήτων περὶ ἐπῳδῶν καὶ [περὶ] δαιμόνων ἀποπομπῆς καὶ τῶν τοιούτων λεγομένοις· καὶ τὸ μὴ ὀρτυγοκοπεῖν μηδὲ περὶ τὰ τοιαῦτα ἐπτοῆσθαι· καὶ τὸ ἀνέχεσθαι παρρησίας· καὶ τὸ οἰκειωθῆναι φιλοσοφίᾳ καὶ τὸ ἀκοῦσαι πρῶτον μὲν Βακχείου, εἶτα Τανδάσιδος καὶ Μαρκιανοῦ· καὶ τὸ γράψαι διαλόγους ἐν παιδί· καὶ τὸ σκίμποδος καὶ δορᾶς ἐπιθυμῆσαι καὶ ὅσα τοιαῦτα τῆς Ἑλληνικῆς ἀγωγῆς ἐχόμενα.*

7 *Παρὰ Ῥουστίκου τὸ λαβεῖν φαντασίαν τοῦ χρῄζειν διορθώσεως καὶ θεραπείας τοῦ ἤθους· καὶ τὸ μὴ ἐκτραπῆναι εἰς ζῆλον σοφιστικόν,*

Titulus: Suid. *Μάρκος, ὁ καὶ Ἀντωνῖνος, βασιλεὺς Ῥωμαίων . . . ἔγραψε τοῦ ἰδίου βίου ἀγωγὴν ἐν βιβλίοις ιβ'* 1 incipit fol. 341 r *Παρὰ* 11 id. *Πρασιανός: ὅτι Πρ. λέγεται καὶ Β. καὶ Π. καὶ Σ. παρὰ Μάρκῳ Ἀντωνίνῳ* id. *Βενετιανός: ὄνομα κύριον* 12 id. *Παλ.: ὄνομα κ.* 15 id. *ἀκενόσπουδον: παρὰ Δ. ἔμαθον τὸ ἀκ. καὶ τὸ ἀπ. φησὶ Μάρκος ὁ φιλόσοφος βασιλεύς* 16 id. *τερατεία: τοῖς ὑπὸ τῶν τερ. καὶ γ. περὶ ἐπῳδῶν καὶ δαιμόνων ἀποπομπῆς* 17 id. *ὀρτυγοκόπος: μηδὲ ὀρτυγοκοπεῖν μηδὲ περὶ τὰ τ. ἐπτοῆσθαι*

23–24 D Titulus: *Μάρκου Ἀντωνίνου αὐτοκράτορος τῶν εἰς ἑαυτὸν Βιβλίον α* P 4 *ἀφετικὸν* A: *ἐφεκτικὸν* P (in abstinendo) corr. Lofft 8 *τό με εἰς* Cas. 11 *μήτε Βεν.* correxi 13 *καὶ αὐτουργικὸν καὶ τὸ ἀπολύπρ.* P *δυσπρόδεκτον* P (admittere) 16 *περὶ* om. Suid. 17 *ὀρτυγοτροφεῖν* ex Suid. correxi 19 *Βακχίου* P 23 Titulo caret D, inc.: *ὅτι ῥούστικος μὲν μάρκον πεπαίδευκε*

μηδὲ τὸ συγγράφειν περὶ τῶν θεωρημάτων, ἢ προτρεπτικὰ λογάρια διαλέγεσθαι, ἢ φαντασιοπλήκτως τὸν ἀσκητικὸν ἢ τὸν εὐεργετικὸν
2 ἄνδρα ἐπιδείκνυσθαι· καὶ τὸ ἀποστῆναι ῥητορικῆς καὶ ποιητικῆς καὶ ἀστειολογίας· καὶ τὸ μὴ ἐν στολίῳ κατ' οἶκον περιπατεῖν μηδὲ τὰ τοιαῦτα ποιεῖν· καὶ τὸ τὰ ἐπιστόλια ἀφελῶς γράφειν, οἷον τὸ ὑπ' 5
3 αὐτοῦ τούτου ἀπὸ Σινοέσσης τῇ μητρί μου γραφέν· καὶ τὸ πρὸς τοὺς χαλεπήναντας καὶ πλημμελήσαντας εὐανακλήτως καὶ εὐδιαλλάκτως, ἐπειδὰν τάχιστα αὐτοὶ ἐπανελθεῖν ἐθελήσωσι, διακεῖσθαι· | καὶ τὸ ἀκριβῶς ἀναγινώσκειν καὶ μὴ ἀρκεῖσθαι περινοοῦντα ὁλοσχερῶς μηδὲ τοῖς περιλαλοῦσι ταχέως συγκατατίθεσθαι· καὶ τὸ 10 ἐντυχεῖν τοῖς Ἐπικτητείοις ὑπομνήμασιν, ὧν οἴκοθεν μετέδωκεν.

8 Παρὰ Ἀπολλωνίου τὸ ἐλεύθερον καὶ ἀναμφιβόλως ἀκύβευτον καὶ πρὸς μηδὲν ἄλλο ἀποβλέπειν μηδὲ ἐπ' ὀλίγον ἢ πρὸς τὸν λόγον· καὶ τὸ ἀεὶ ὅμοιον, ἐν ἀλγηδόσιν ὀξείαις, ἐν ἀποβολῇ τέκνου, ἐν μακραῖς νόσοις· καὶ τὸ ἐπὶ παραδείγματος ζῶντος ἰδεῖν ἐναργῶς ὅτι 15
2 δύναται ὁ αὐτὸς σφοδρότατος εἶναι καὶ ἀνειμένος· καὶ τὸ ἐν ταῖς ἐξηγήσεσι μὴ δυσχεραντικόν· καὶ τὸ ἰδεῖν ἄνθρωπον σαφῶς ἐλάχιστον τῶν ἑαυτοῦ καλῶν ἡγούμενον τὴν ἐμπειρίαν καὶ τὴν ἐντρέχειαν τὴν περὶ τὸ παραδιδόναι τὰ θεωρήματα· καὶ τὸ μαθεῖν πῶς δεῖ λαμβάνειν τὰς δοκούσας χάριτας παρὰ φίλων, μήτε ἐξηττώμενον 20 διὰ ταῦτα μήτε ἀναισθήτως παραπέμποντα.

9 Παρὰ Σέξτου τὸ εὐμενές· καὶ τὸ παράδειγμα τοῦ οἴκου τοῦ

---

4 Suid. στόλιον: μὴ ἐν στολίῳ κατ' οἶκον περιπατεῖν 5 id. ἀφελές: καὶ τὰ ἐπιστόλια ἀφελῶς γράφειν 7 id. εὐανακλήτως: καὶ πρὸς τοὺς χ. καὶ πλ. εὐανακλήτως ἔχειν, εὐαναδιδάκτως, ἐπειδὰν αὐτοὶ ἐπανελθεῖν θέλωσιν 9 incipit 341 V καὶ 10 id. περιλαλοῦσιν: τοῖς περιλαλοῦσι μὴ ταχέως συγκατατίθεσθαι 11 id. αὐτόθεν: ἀντὶ τοῦ οἴκοθεν, ἔνδοθεν seq. ecloga ad ii. 10 citata 14 id. ἀεί: ἀεὶ δὲ χρὴ τὸν σοφὸν εἶναι ὅμοιον, ἐν ἀλγηδόσιν ὀξείαις, ἐν ἀποβολῇ τέκνου (v.l. τέκνων), ἐν μακραῖς νόσοις. οἷος ἦν Ἀπολλώνιος ὁ Τυανεύς 22 id. ἀπαθέστατα: εὐμενῆ δεῖ εἶναι καὶ ἀνεκτικὸν τῶν ἰδιωτῶν καὶ ἀθεώρητον οἰομένων· πρὸς πάντας εὐάρμοστον, ὥστε κολακείας πάσης προσηνεστέραν εἶναι τὴν ὁμιλίαν, προσηνῆ καὶ αἰδέσιμον πᾶσι· μηδὲ ἔμφασίν ποτε ὀργῆς παρασχεῖν, εὐστοργότατον (v.l. -τα) καὶ εὐφημότατον (v.l. -τα) ἀψοφητί

1–22 D, 19–21 C 1 μηδὲ τοῦ P: μηδὲ [τὸ] Schultz: μηδ' ε⟨ἰς⟩ τὸ Sch. θεορημάτων A 2 ἐνεργητικὸν Xyl.: εὐεργητικὸν P cod. 4 στολῇ ex Suid. corr. Sch. 4–5 μηδὲ . . . ποιεῖν om. D 5–6 οἷον . . . γραφέν om. D: τὸ om. A 6 σινεόσσης A 7 εὐδιαλλάκτως D Xyl.: εὐδιαλέκτως P A 9 ἀκριβῶς . . . ὁλοσχ. om. D 10 μὴ D 11 ἐπικτητίοις A ὧν A fort. αὐτόθεν 12 ἀναμφιλόγως A D 15 παραδείματος A 18 καὶ ἐντρέχειαν A D 19 ἐκ τῶν Μάρκου: ὅτι χρὴ μαθεῖν C 20 παρὰ τῶν φίλων C: παρὰ φίλων Co 22 Σέξτου P D man. rec.: Ξέστου P cod. A D καὶ τὸ . . . πατρονομουμένου om. D

πατρονομουμένου· καὶ τὴν ἔννοιαν τοῦ κατὰ φύσιν ζῆν· καὶ τὸ σεμνὸν ἁπλάστως· καὶ τὸ στοχαστικὸν τῶν φίλων κηδεμονικῶς· καὶ
2 τὸ ἀνεκτικὸν τῶν ἰδιωτῶν καὶ τῶν ἀθεωρητὶ οἰομένων· καὶ τὸ πρὸς πάντας εὐάρμοστον, ὥστε κολακείας μὲν πάσης προσηνεστέραν εἶναι τὴν ὁμιλίαν αὐτοῦ, αἰδεσιμώτατον δὲ αὐτοῖς ἐκείνοις παρ' αὐτὸν ἐκεῖνον τὸν καιρὸν εἶναι· καὶ τὸ καταληπτικῶς καὶ ὁδῷ ἐξευρετικόν τε καὶ τακτικὸν τῶν εἰς βίον ἀναγκαίων δογμάτων·
3 καὶ τὸ μηδὲ ἔμφασίν ποτε ὀργῆς ἢ ἄλλου τινὸς πάθους παρασχεῖν, ἀλλὰ ἅμα μὲν ἀπαθέστατον εἶναι, ἅμα δὲ φιλοστοργότατον· καὶ τὸ εὔφημον ἀψοφητὶ καὶ τὸ πολυμαθὲς ἀνεπιφάντως.

10 Παρὰ Ἀλεξάνδρου τοῦ γραμματικοῦ τὸ ἀνεπίπληκτον καὶ τὸ μὴ ὀνειδιστικῶς ἐπιλαμβάνεσθαι τῶν βάρβαρον ἢ σόλοικόν τι ἢ ἀπηχὲς προενεγκαμένων, ἀλλ' ἐπιδεξίως αὐτὸ μόνον ἐκεῖνο ὃ ἔδει εἰρῆσθαι προφέρεσθαι ἐν τρόπῳ ἀποκρίσεως ἢ συνεπιμαρτυρήσεως ἢ συνδιαλήψεως περὶ αὐτοῦ | τοῦ πράγματος, οὐχὶ περὶ τοῦ ῥήματος, ἢ δι' ἑτέρας τινὸς τοιαύτης ἐμμελοῦς παρυπομνήσεως.

11 Παρὰ Φρόντωνος τὸ ἐπιστῆσαι οἷα ἡ τυραννικὴ βασκανία καὶ ποικιλία καὶ ὑπόκρισις, καὶ ὅτι ὡς ἐπίπαν οἱ καλούμενοι οὗτοι παρ' ἡμῖν εὐπατρίδαι ἀστοργότεροί πως εἰσί.

12 Παρὰ Ἀλεξάνδρου τοῦ Πλατωνικοῦ τὸ μὴ πολλάκις μηδὲ χωρὶς ἀνάγκης λέγειν πρός τινα ἢ ἐν ἐπιστολῇ γράφειν ὅτι ἄσχολός εἰμι, μηδὲ διὰ τοιούτου τρόπου συνεχῶς παραιτεῖσθαι τὰ κατὰ τὰς πρὸς τοὺς συμβιοῦντας σχέσεις καθήκοντα, προβαλλόμενον τὰ περιεστῶτα πράγματα.

13 Παρὰ Κατούλου τὸ μὴ ὀλιγώρως ἔχειν φίλου αἰτιωμένου τι, κἂν τύχῃ ἀλόγως αἰτιώμενος, ἀλλὰ πειρᾶσθαι [καὶ] ἀποκαθιστάναι ἐπὶ τὸ σύνηθες· καὶ τὸ περὶ τῶν διδασκάλων ἐκθύμως εὔφημον, οἷα

---

3 Suid. ἀθεωρητί: χωρὶς θεωρίας 12 id. ἐπιλαμβάνεσθαι: μὴ ὀνειδιστικῶς ἐπιλ. τῶν (v.l. τὸν) βάρβαρον ἢ σόλοικον ἢ ἀπηχές τι προενεγκαμένων 13 id. ἀπηχές: μὴ ὀνειδιστικῶς . . . σόλοικόν τι ἢ ἀπηχὲς προενεγκαμένων 15 incipit 342 1 τοῦ 21 id. ἄσχολος: μηδὲ χωρὶς ἀνάγκης . . . πράγματα

1–27 D 2 καὶ ἁπλάστως A: καὶ ἅπλαστον D 3 τὸ ἀθεώρητον P cod. P A D: τῶν ἀθεωρητὶ scripsi: τῶν ἀθεωρήτως Gat. οἰομένων A: τῶν οἰομένων P cod. P: τῶν ἰωμένων D 6 καταληπτικὸν D 9 ἀπεχθέστατον P corr. Bas. 10 καὶ τὸ ἀψοφητὶ A D: καὶ τοῦτο ἀψοφητὶ P corr. Scaph. 13 ἐκείνω ᾧ A 14 ἓν A 18 ὡς ἐπίπαν om. D 22 τούτου τοῦ A D 23 προβαλόμενον A 26 καὶ secl. Reiske

τὰ περὶ Δομετίου καὶ Ἀθηνοδότου ἀπομνημονευόμενα· καὶ τὸ περὶ τὰ τέκνα ἀληθινῶς ἀγαπητικόν.

14 Παρὰ Σευήρου τὸ φιλοίκειον καὶ φιλάληθες καὶ φιλοδίκαιον· καὶ τὸ δι' αὐτὸν γνῶναι Θρασέαν, Ἑλβίδιον, Κάτωνα, Δίωνα, Βροῦτον· καὶ φαντασίαν λαβεῖν πολιτείας ἰσονόμου, κατ' ἰσότητα καὶ ἰσηγορίαν διοικουμένης, καὶ βασιλείας τιμώσης πάντων μάλιστα 2 τὴν ἐλευθερίαν τῶν ἀρχομένων· καὶ ἔτι παρ' αὐτοῦ τὸ ὁμαλὲς καὶ εὔτονον ἐν τῇ τιμῇ τῆς φιλοσοφίας· καὶ τὸ εὐποιητικὸν καὶ τὸ εὐμετάδοτον ἐκτενῶς καὶ τὸ εὔελπι· καὶ τὸ πιστευτικὸν περὶ τοῦ ὑπὸ τῶν φίλων φιλεῖσθαι, καὶ τὸ ἀνεπίκρυπτον πρὸς τοὺς καταγνώσεως ὑπ' αὐτοῦ τυγχάνοντας, καὶ τὸ μὴ δεῖσθαι στοχασμοῦ τοὺς φίλους αὐτοῦ περὶ τοῦ τί θέλει ἢ τί οὐ θέλει, ἀλλὰ δῆλον εἶναι.

15 Παρὰ Μαξίμου τὸ κρατεῖν ἑαυτοῦ καὶ κατὰ μηδὲν περίφορον εἶναι· καὶ τὸ εὔθυμον ἔν τε ταῖς ἄλλαις περιστάσεσι καὶ ἐν ταῖς νόσοις· καὶ τὸ εὔκρατον τοῦ ἤθους καὶ μειλίχιον καὶ γεραρόν· 2 καὶ τὸ οὐ σχετλίως κατεργαστικὸν τῶν προκειμένων· καὶ τὸ πάντας αὐτῷ πιστεύειν περὶ ὧν λέγοι ὅτι οὕτως φρονεῖ, καὶ περὶ ὧν πράττοι ὅτι οὐ κακῶς | πράττει. καὶ τὸ ἀθαύμαστον καὶ ἀνέκπληκτον καὶ μηδαμοῦ ἐπειγόμενον ἢ ὀκνοῦν ἢ ἀμηχανοῦν ἢ 3 κατηφὲς ἢ προσσεσηρός, ἢ πάλιν θυμούμενον ἢ ὑφορώμενον· καὶ τὸ εὐεργετικὸν καὶ τὸ συγγνωμονικὸν καὶ τὸ ἀψευδές· καὶ τὸ ἀδιαστρόφου μᾶλλον ἢ διορθουμένου φαντασίαν παρέχειν· καὶ ὅτι οὔτε ᾠήθη ἄν ποτέ τις ὑπερορᾶσθαι ὑπ' αὐτοῦ οὔτε ὑπέμεινεν ἂν κρείττονα αὐτοῦ αὐτὸν ὑπολαβεῖν· καὶ τὸ εὔχαρι ἐν τ . . . . . .

16 Παρὰ τοῦ πατρὸς τὸ ἤμερον καὶ μενετικὸν ἀσαλεύτως ἐπὶ τῶν ἐξητασμένως κριθέντων· καὶ τὸ ἀκενόδοξον περὶ τὰς δοκούσας

---

18 incipit 342 v πράττει 24 Suid. χαριεντιζόμενοι: εὐτραπελευόμενοι, σκώπτοντες

1–26 D, 16 18 C 1 δομετίου A: Δομητίου P D: Δομιτίου Gat. 3 τοῦ ἀδελφοῦ μου ante Σ. secl. Schultz Σεουήρου P: σευουήρου A D: correxi, cf. x. 31 4 δι' αὐτῶν A γνῶναι τοὺς περὶ κάτωνα καὶ δ. καὶ β. D 5 κατὰ P 7 παρὰ τοῦ αὐτοῦ A D ἀμελὲς corr. Cor. 8 ὁμότονον correxi 12 ἢ τί οὐ θέλει om. A D 13 Παράκλησις Μαξ. P: Παρὰ Κλαυδίου Μαξ. Cas. 15 μείλιχον A D 16 τὸ pr. om. P 17 πάντως A D λέγει C D 18 πράττει C D ἀκάκως Reiske: οὐκ ἄλλως Nauck: οὐκ εἰκαίως Lofft πράττῃ P 19 ἐπιγινόμενον A D 20 προσσεσηρός D Gat.: προσεσηρός παλιενθυμούμενον A D 21 τὸ tert. om. P ἀδιστρόφου A 22–4 καὶ ὅτι . . . ὑπολαβεῖν om. D 22–3 ᾠήθειάν ποτε A 23 ὑπομείνειεν ἂν A 24 εὖ χαριεντίζεσθαι Menag.: μὴ χαρ. Cor.: εὐχαριεντίζεσθαι 25 ἐπὶ τὸ P (in iis quae) corr. Bas.

τιμάς· καὶ τὸ φιλόπονον καὶ ἐνδελεχές· καὶ τὸ ἀκουστικὸν τῶν ἐχόντων τι κοινωφελὲς εἰσφέρειν· καὶ τὸ ἀπαρατρέπτως [εἰς] τοῦ κατ' ἀξίαν ἀπονεμητικὸν ἑκάστῳ· καὶ τὸ ἔμπειρον ποῦ μὲν
2 χρεία ἐντάσεως, ποῦ δὲ ἀνέσεως· καὶ τὸ παῦσαι τὰ περὶ τοὺς ἔρωτας τῶν μειρακίων· καὶ ἡ κοινονοημοσύνη καὶ τὸ ἐφεῖσθαι τοῖς φίλοις μήτε συνδειπνεῖν αὐτῷ πάντως μήτε συναποδημεῖν ἐπάναγκες, ἀεὶ δὲ ὅμοιον αὐτὸν καταλαμβάνεσθαι ὑπὸ τῶν διὰ χρείας τινὰς ἀπολειφθέντων· καὶ τὸ ζητητικὸν ἀκριβῶς ἐν τοῖς συμβουλίοις καὶ ἐπίμονον, †ἀλλ' οὐ τό· προαπέστη τῆς ἐρεύνης, ἀρκεσθεὶς ταῖς προχείροις φαντασίαις· καὶ τὸ διατηρητικὸν τῶν φίλων καὶ μηδαμοῦ
3 ἀψίκορον μηδὲ ἐπιμανές· καὶ τὸ αὐτάρκες ἐν παντὶ καὶ τὸ φαιδρόν· καὶ τὸ πόρρωθεν προνοητικὸν καὶ τῶν ἐλαχίστων προδιοικητικὸν ἀτραγῴδως· καὶ τὸ τὰς ἐπιβοήσεις καὶ πᾶσαν κολακείαν ἐπ' αὐτοῦ ⟨συ⟩σταλῆναι· καὶ τὸ φυλακτικὸν ἀεὶ τῶν ἀναγκαίων τῇ ἀρχῇ καὶ ταμιευτικὸν τῆς χορηγίας καὶ ὑπομενετικὸν τῆς ἐπὶ τῶν τοιούτων
15 τινῶν καταιτιάσεως· καὶ τὸ μήτε περὶ θεοὺς δεισίδαιμον μήτε περὶ ἀνθρώπους δημοκοπικὸν ἢ ἀρεσκευτικὸν ἢ ὀχλοχαρές, ἀλλὰ νῆφον ἐν πᾶσι καὶ βέβαιον καὶ μηδαμοῦ ἀπειρόκαλον μηδὲ καινοτόμον·
4 καὶ τὸ τοῖς εἰς εὐμάρειαν βίου φέρουσί τι, ὧν ἡ τύχη παρεῖχε δαψίλειαν, χρηστικὸν ἀτύφως | ἅμα καὶ ἀπροφασίστως, ὥστε παρόν- 20
των μὲν ἀνεπιτηδεύτως ἅπτεσθαι, ἀπόντων δὲ μὴ δεῖσθαι· καὶ τὸ μηδὲ ἄν τινα εἰπεῖν μήτε ὅτι σοφιστὴς μήτε ὅτι οὐερνάκλος μήτε ὅτι σχολαστικός, ἀλλ' ὅτι ἀνὴρ πέπειρος, τέλειος, ἀκολάκευτος,
5 προεστάναι δυνάμενος καὶ τῶν ἑαυτοῦ καὶ ἄλλων. πρὸς τούτοις δὲ καὶ τὸ τιμητικὸν τῶν ἀληθῶς φιλοσοφούντων, τοῖς δὲ ἄλλοις 25

---

8 λέγεται δὲ ὁ Ἀντωνῖνος ζητητικὸς γενέσθαι καὶ μηδὲ περὶ τὰ μικρὰ καὶ τὰ τυχόντα τῆς ἀκριβολογίας ἀφίστασθαι Xiph. *Epit. Dion. Cass.* 70. 3. 3 11 Suid. ἀψίκορον: συντηρητικὸν δεῖ εἶναι πρὸς τοὺς φίλους καὶ μηδαμοῦ ἀψίκορον 20 incipit 343 r ἅμα

1–25 D, 25 C 1 φολόπονον P corr. Bas. 3 τοῦ κατ' ἀξίαν Reiske: τὸ κατ' ἀξίαν Morus: εἰς τὸ κατ' ἀξίαν 4 ἐνστάσεως A D 5–8 καὶ ἡ . . . ἀπολειφθέντων om. D κοινωνοημ. A: νοινονοημ. P 6 μήτε pr.] μὴ δὲ A 9–10 ἀλλ' οὐ . . . φαντασίαις om. D 9 καὶ ὅτι οὐ προαπέστη Gat.: ὧν ἂν ἄλλος τις προαπέστη Rend.: οὐ μόνον τὸ πρ. P cod.: οὐ τὸ πρ. P A D: οὐ τό· προαπέστη Bas. 13 ὑπ' αὐτοῦ A 14 σταλῆναι corr. Xyl. τὸ om. A D 15 τῇ μιευτικὸν P corr. Bas. καὶ τὸ ἐπιμενετικὸν D 16 τονῶν P τοὺς θεοὺς P 19–20 παρέχει δαψ. P: δαψ. παρέχει A D corr. Cas. 21 ἀνεπιτιδεύτως P 21–4 καὶ τὸ . . . ἄλλων om. D 22 μηδὲ] μήτε P: μηδέποτ' Morus ὅτι οἰκογενὴς οὐερνάκλος P 25 Ὅτι δεῖ τιμᾶν τοὺς ὡς ἀληθῶς φιλοσόφους C

οὐκ ἐξονειδιστικὸν οὐδὲ μὴν εὐπαράγωγον ὑπ' αὐτῶν· ἔτι δὲ τὸ εὐόμιλον καὶ εὔχαρι οὐ κατακόρως· καὶ τὸ τοῦ ἰδίου σώματος ἐπιμελητικὸν ἐμμέτρως, οὔτε ὡς ἄν τις φιλόζωος οὔτε πρὸς καλλωπισμὸν οὔτε μὴν ὀλιγώρως, ἀλλ' ὥστε διὰ τὴν ἰδίαν προσοχὴν εἰς ὀλίγιστα ἰατρικῆς χρῄζειν ἢ φαρμάκων καὶ ἐπιθεμάτων [ἐκτός]· 5
6 μάλιστα δὲ τὸ παραχωρητικὸν ἀβασκάνως τοῖς δύναμίν τινα κεκτημένοις, οἷον τὴν φραστικὴν ἢ τὴν ἐξ ἱστορίας νόμων ἢ ἐθῶν ἢ ἄλλων τινῶν πραγμάτων, καὶ συσπουδαστικὸν αὐτοῖς, ἵνα ἕκαστοι κατὰ τὰ ἴδια προτερήματα εὐδοκιμῶσι· πάντα δὲ κατὰ τὰ πάτρια πράσσων, οὐδὲ αὐτὸ τοῦτο ἐπιτηδεύων φαίνεσθαι, τὸ τὰ πάτρια φυλάσ- 10
7 σειν. ἔτι δὲ τὸ μὴ εὐμετακίνητον καὶ ῥιπταστικόν, ἀλλὰ καὶ τόποις καὶ πράγμασι τοῖς αὐτοῖς ἐνδιατριπτικόν· καὶ τὸ μετὰ τοὺς παροξυσμοὺς τῆς κεφαλαλγίας νεαρὸν εὐθὺς καὶ ἀκμαῖον πρὸς τὰ συνήθη ἔργα· καὶ τὸ μὴ εἶναι αὐτῷ πολλὰ τὰ ἀπόρρητα, ἀλλ' ὀλίγιστα καὶ σπανιώτατα καὶ ταῦτα ὑπὲρ τῶν κοινῶν μόνον· καὶ τὸ 15
ἔμφρον καὶ μεμετρημένον ἔν τε θεωριῶν ἐπιτελέσει καὶ ἔργων κατασκευαῖς καὶ διανομαῖς καὶ τοῖς τοιούτοις, ⟨ὡς⟩ ἀνθρώπου πρὸς αὐτὸ τὸ δέον πραχθῆναι δεδορκότος, οὐ πρὸς τὴν ἐπὶ τοῖς πραχθεῖσιν
8 εὐδοξίαν. οὐκ ἦν ἀωρὶ λούστης, οὐχὶ φιλοικοδόμος, οὐ περὶ τὰς ἐδωδὰς ἐπινοητής, οὐ περὶ ἐσθήτων ὑφὰς καὶ χρόας, οὐ περὶ 20
σωμάτων ὥρας. ἡ ἀπὸ Λωρίου στολὴ ἀνάγουσα ἀπὸ τῆς κάτω ἐπαύλεως· καὶ τῶν ἐν Λανουβίῳ τὰ πολλά· τῷ τελώνῃ ἐν Τούσκλοις
9 παραιτουμένῳ ὡς ἐχρήσατο καὶ πᾶς ὁ τοιοῦτος τρόπος. οὐδὲν ἀπηνὲς οὐδὲ | μὴν ἀδυσώπητον οὐδὲ λάβρον οὐδὲ ὥστ' ἄν τινα εἰπεῖν ποτε· " ἕως ἱδρῶτος "· ἀλλὰ πάντα διειλημμένα λελογίσθαι 25

2 Suid. προσοχή: τοῦ ἰδίου σώματος ἐπιμελητικῶς δεῖ ἔχειν ἐμμέτρως, οὔτε ὡς ἄν . . . προσοχὴν εἰς ὀλίγιστα (v.l. ὀλίγα) ἰατρικῆς χρῄζειν φαρμάκων καὶ ἐπιθεμάτων ἐντὸς καὶ ἐκτός (ἢ ante φαρμ. omisso) 24 incipit 343 v μὴν

1–21 D, 1 C 1 ἐξονειδικὸν A D οὐδὲ . . . αὐτῶν om. P 5 ἰατρικῶν P ἐπιθεμάτων Suid.: ἐπιθημάτων ἐκτός secl. Rend. 7 ἢ τῶν τὴν P 9–10 πράσσειν et ἐπιτηδεύειν D 10 τὸ τὰ πάτρια φυλάσσειν secl. Polak 11 ἔτι δὲ καὶ μὴ A 13 νοερὸν D αὖθις Cor. 15 ὑπὸ D μόνων AD 16 μεμελετημένον D 17 καὶ διαν. om. D ἀνθρώποις corr. Rich.: ⟨καὶ⟩ ἀνθρώπου Xyl.: ⟨ὃ ἐστιν⟩ ἀνθρώπου Morus 18 αὐτὸ δὲ τὸ P δεδορκός D 19 ἐν ἀωρὶ A D: ἐν ἀωρεὶ P: corr. Rend.: [ἐν] ἀωρὶ Salm. 21 ἢ A ἀπὸ χωρίου (e praedio) Bas. 22 χιτὼν ἐν Salm. φελώνῃ Salm.: φαινόλῃ Barb. 23 παραιτουμένως [ὡς] Salm. τρόπος P: τόπος P cod. A 24 ὡς ἂν P: ὡς τ' ἄν A 25 ποτε οὐ μ . . . A cum lacuna litt. quinque: οὐ μετρίως Stich: fort. οὐ μ⟨έχρι⟩ . . . ἕως ἱδρῶτος om. A

ὡς ἐπὶ σχολῆς, ἀταράχως, τεταγμένως, ἐρρωμένως, συμφώνως ἑαυτοῖς. ἐφαρμόσειε δ' ἂν αὐτῷ τὸ περὶ τοῦ Σωκράτους μνημονευόμενον, ὅτι καὶ ἀπέχεσθαι καὶ ἀπολαύειν ἐδύνατο τούτων, ὧν πολλοὶ πρός τε τὰς ἀποχὰς ἀσθενῶς καὶ πρὸς τὰς ἀπολαύσεις ἐνδοτικῶς ἔχουσι. τὸ δὲ ἰσχύειν καὶ ἔτι καρτερεῖν καὶ ἐννήφειν ἑκατέρῳ ἀνδρός ἐστιν ἄρτιον καὶ ἀήττητον ψυχὴν ἔχοντος, οἷον ἐν τῇ νόσῳ τὴν Μαξίμου.

17 Παρὰ τῶν θεῶν τὸ ἀγαθοὺς πάππους, ἀγαθοὺς γονέας, ἀγαθὴν ἀδελφήν, ἀγαθοὺς διδασκάλους, ἀγαθοὺς οἰκείους, συγγενεῖς, φίλους, σχεδὸν ἅπαντα ἔχειν· καὶ ὅτι περὶ οὐδένα αὐτῶν προέπεσον πλημμελῆσαί τι, καίτοι διάθεσιν ἔχων τοιαύτην, ἀφ' ἧς, εἰ ἔτυχε, κἂν ἔπραξά τι τοιοῦτον· τῶν θεῶν δὲ εὐποιία τὸ μηδεμίαν συνδρομὴν 2 πραγμάτων γενέσθαι, ἥτις ἔμελλέ με ἐλέγξειν. καὶ τὸ μὴ ἐπὶ πλέον τραφῆναι παρὰ τῇ παλλακῇ τοῦ πάππου καὶ τὸ τὴν ὥραν διασῶσαι καὶ τὸ μὴ πρὸ ὥρας ἀνδρωθῆναι, ἀλλ' ἔτι καὶ ἐπιλαβεῖν 3 τοῦ χρόνου. τὸ ἄρχοντι καὶ πατρὶ ὑποταχθῆναι, ὃς ἔμελλε πάντα τὸν τῦφον ἀφαιρήσειν μου καὶ εἰς ἔννοιαν ἄξειν τοῦ ὅτι δυνατόν ἐστιν ἐν αὐλῇ βιοῦντα μήτε δορυφορήσεων χρῄζειν μήτε ἐσθήτων σημειωδῶν μήτε λαμπάδων καὶ ἀνδριάντων ⟨καὶ⟩ τοιῶνδέ τινων [καὶ] τοῦ ὁμοίου κόμπου, ἀλλ' ἔξεστιν ἐγγυτάτω ἰδιώτου συστέλλειν ἑαυτὸν καὶ μὴ διὰ τοῦτο ταπεινότερον ἢ ῥᾳθυμότερον ἔχειν πρὸς 4 τὰ ὑπὲρ τῶν κοινῶν ἡγεμονικῶς πραχθῆναι δέοντα. τὸ ἀδελφοῦ τοιούτου τυχεῖν, δυναμένου μὲν διὰ ἦθους ἐπεγεῖραί με πρὸς ἐπιμέλειαν ἐμαυτοῦ, ἅμα δὲ καὶ τιμῇ καὶ στοργῇ εὐφραίνοντός με· τὸ παιδία μοι ἀφυῆ μὴ γενέσθαι μηδὲ κατὰ τὸ σωμάτιον διάστροφα. τὸ μὴ ἐπὶ πλέον με προκόψαι ἐν ῥητορικῇ καὶ ποιητικῇ καὶ τοῖς ἄλλοις ἐπιτηδεύμασιν, | ἐν οἷς ἴσως ἂν κατεσχέθην, εἰ ἠσθόμην 5 ἐμαυτὸν εὐόδως προϊόντα. τὸ φθάσαι τοὺς τροφέας ἐν ἀξιώματι καταστῆσαι, οὗ δὴ ἐδόκουν μοι ἐπιθυμεῖν, καὶ μὴ ἀναβαλέσθαι

27 incipit 344 r ἐν οἷς

1 τεταραγμένως A 4 ⟨οἱ⟩ πολλοὶ Schultz² 5 ἐγκαρτερεῖν Gat. 6 ἀνδρός . . . ἔχοντος om. A 7 τῇ Μαξ. correxi : τοῦ Μαξ. Reiske 10 ⟨ἀγαθὰ⟩ σχεδὸν Cas. Gat. ἅπαντα P A : ἅπαντας Schultz ἔχειν A : σχεῖν P 11 πεμμελῆσαί A 13 ἤμελλέ A 13–14 μὴ πλέον ἐπιτραφῆναι P : μ. π. ἐκτραφῆναι Bas. 17 ἔξειν A 19 σημειωτῶν Bas. ⟨καὶ⟩ Stich τοιῶνδέ τινων secl. Morus καὶ seclusi νὴ δία P : νὴ Διὰ Bas. 25 μὴ ἀφυῆ μοι Nauck 26 τὸ μὲν P (neque) corr. Bas. Canter ἐν τῇ A 27 μετεσχέθην A 29 ἀντιλαβέσθαι A

ἐλπίδι τοῦ με, ἐπεὶ νέοι ἔτι ἦσαν, ὕστερον αὐτὸ πράξειν. τὸ γνῶναι
6 Ἀπολλώνιον, Ῥούστικον, Μάξιμον. τὸ φαντασθῆναι περὶ τοῦ
κατὰ φύσιν βίου ἐναργῶς καὶ πολλάκις οἷός τίς ἐστιν, ὥστε, ὅσον
ἐπὶ τοῖς θεοῖς καὶ ταῖς ἐκεῖθεν διαδόσεσι καὶ συλλήψεσι καὶ
ἐπιπνοίαις, μηδὲν κωλύειν ἤδη κατὰ φύσιν ζῆν με, ἀπολείπεσθαι
δέ τι ἔτι τούτου παρὰ τὴν ἐμὴν αἰτίαν καὶ παρὰ τὸ μὴ διατηρεῖν
7 τὰς ἐκ τῶν θεῶν ὑπομνήσεις καὶ μονονουχὶ διδασκαλίας· τὸ
ἀντισχεῖν μοι τὸ σῶμα ἐπὶ τοσοῦτον ἐν τοιούτῳ βίῳ· τὸ μήτε
Βενεδίκτης ἅψασθαι μήτε Θεοδότου, ἀλλὰ καὶ ὕστερον ἐν ἐρωτικοῖς
πάθεσι γενόμενον ὑγιᾶναι· τὸ χαλεπήναντα πολλάκις Ῥουστίκῳ
μηδὲν πλέον πρᾶξαι, ἐφ' ᾧ ἂν μετέγνων· τὸ μέλλουσαν νέαν τελευτᾶν
8 τὴν τεκοῦσαν ὅμως οἰκῆσαι μετ' ἐμοῦ τὰ τελευταῖα ἔτη. τὸ ὁσάκις
ἐβουλήθην ἐπικουρῆσαί τινι πενομένῳ ἢ εἰς ἄλλο τι χρῄζοντι,
μηδέποτε ἀκοῦσαί με ὅτι οὐκ ἔστι μοι χρήματα, ὅθεν γένηται, καὶ
τὸ αὐτῷ ἐμοὶ χρείαν ὁμοίαν, ὡς παρ' ἑτέρου μεταλαβεῖν, μὴ συμ-
πεσεῖν· τὸ τὴν γυναῖκα τοιαύτην εἶναι, οὕτωσὶ μὲν πειθήνιον, οὕτω
δὲ φιλόστοργον, οὕτω δὲ ἀφελῆ· τὸ ἐπιτηδείων τροφέων εἰς τὰ
9 παιδία εὐπορῆσαι. τὸ δι' ὀνειράτων βοηθήματα δοθῆναι ἄλλα τε
καὶ ὡς μὴ πτύειν αἷμα καὶ μὴ ἰλιγγιᾶν, καὶ τὸ τοῦ ἐν Καιήτῃ
" ὥσπερ χρήσῃ "· ⟨τὸ⟩ ὅπως ἐπεθύμησα φιλοσοφίας, μὴ ἐμπεσεῖν
εἴς τινα σοφιστὴν μηδὲ ἀποκαθίσαι ἐπὶ τοῦ συγγραφὰς ἢ συλλογι-
σμοὺς ἀναλύειν ἢ περὶ τὰ μετεωρολογικὰ καταγίνεσθαι. πάντα γὰρ
ταῦτα " θεῶν βοηθῶν καὶ τύχης δεῖται ".

---

1 τοῦ μὴ corr. Cas. (μὴ secl. Cor.) 4 δόσεσι Cor. 5 ἐπινοίαις corr. Cas.
6 δέ τι ἐπὶ A: ἢ ἀπολ. ἔτι P: corr. Polak: δὲ ἔτι Schultz 18 δοθῆναί μοι Cor.
19 καὶ τούτου em. Lofft 20 χρήσῃ P cod. A: forte est quō utaris, χρήσῃ Xyl.
⟨τὸ⟩ Gat. ὅπως τε P: οὕτως τε A: οὕτως τε . . . ⟨ὡς⟩ Rich.: οὕτως τε . . . ⟨ὡς⟩
μὴ ἐμπεσεῖν Rich. 21 ἀποκαθήσαι Bas. unde ἀποκαθῆσθαι Gat. τοὺς
συγγραφεῖς correxi: τοῦ συγγράφειν Reiske 22 δεῖται ⟨τινος⟩ Haines